On the Psychē, Fragmentary by Aristotle

1.412b καθόλου μὲν οὖν εἴρηται τί ἐστιν ἡ ψυχή, ὅτι οὐσία ἡ κατὰ τὸν λόγον. τοῦτο δὲ τὸ τί ἦν εἶναι τῷ τοιῳδὶ σώματι, ὥσπερ εἰ ἦν ὁτιοῦν τῶν ὀργάνων φυσικὸν σῶμα, οἷον πρίων· ἦν γὰρ ἂν τὸ πρίονι εἶναι ἡ οὐσία αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦτο· διὸ ἀπελθούσης οὐκέτ’ ἂν ἦν πρίων, ἀλλ’ ἢ ὁμωνύμως. νῦν δ’ ἐστὶ πρίων· οὐ γὰρ τοιούτου σώματος ἡ ψυχὴ τὸ τί ἦν εἶναι καὶ ὁ λόγος, ἀλλὰ φυσικοῦ τοιουδὶ ἔχοντος κινήσεως καὶ στάσεως ἀρχὴν ἐν ἑαυτῷ. δεῖ δὲ σκοπεῖν ὥσπερ εἴπομεν ἐπὶ τῶν μερῶν ὁτῳοῦν. εἰ γὰρ ἦν ὁ ὀφθαλμὸς ζῷον, ἦν ἂν τούτου ψυχὴ ἡ ὄψις· αὕτη γὰρ οὐσία ὀφθαλμοῦ ἡ κατὰ τὸν λόγον. ὁ δ’ ὀφθαλμὸς ὕλη ὄψεως· ἀπελθούσης δ’ οὐκ ἔτι ὁ ὀφθαλμὸς ἀλλ’ ἢ ὁμωνύμως, ὥσπερ εἰ τὸν λίθινον ὀφθαλμὸν φαίνημεν εἶναι. ὃ δὲ ἐπὶ ἑνὸς μέρους, τοῦτο δεῖ λαβεῖν ἐπὶ ὅλου τοῦ ζῶντος σώματος·

2.413a ὅτι μὲν οὖν ἤτοι μέρη ἔνια τῆς ψυχῆς ἢ ἡ ὅλη, εἰ μεριστή, οὐκ ἔστι χωριστὴ τοῦ σώματος, οὗ ἐστι ψυχή, οὐκ ἄδηλον· ἐνίων γὰρ ἡ ἐντελέχεια αὐτῶν τῶν μερῶν ἐστιν. οὐ μὴν ἀλλ’ ἔννια οὐθὲν κωλύει. οὐ γάρ ἐστι σώματος ἐντελέχεια οὐδενός. ἔτι ἄδηλον εἰ οὕτως ἡ ψυχὴ τοῦ σώματος ἐντελέχεια ὥσπερ πλωτὴρ πλοίου. ὡς μὲν οὖν εἰπεῖν τόπῳ περὶ ψυχῆς εἰρήσθω τὸν τρόπον τοῦτον.

Ἐπεὶ δ’ ἐκ τῶν ἀσαφῶν μὲν φανερωτέρων δὲ τὸ σαφὲς γίνεται καὶ κατὰ τὸν λόγον γνωριμώτερον, πειρατέον πάλιν οὕτω γ’ ἐπελθεῖν περὶ αὐτῆς· οὐ γὰρ μόνον τὸ ὅτι δεῖ ἔχειν τὸν λόγον τὸν ὁριστικόν, ὥσπερ οἱ πλεῖστοι τὸν ὅρον λέγουσιν, ἀλλὰ καὶ τὴν αἰτίαν ἐνυπάρχειν. νῦν δ’ ὥσπερ συμπέρασμα οἱ λόγοι τῶν ὅρων εἰσίν, οἷον τί ἐστι τετραγωνισμός; τὸ ἴσον ἑτερομήκει ὀρθογώνιον εἶναι ἰσόπλευρον· οὗτος μὲν γὰρ ὁ τοῦ συμπεράσματος· ὁ δὲ λέγων τί ἐστι τετραγωνισμός; ὅτι μέσης εὕρεσις, τοῦ πράγματος λέγει τὸ αἴτιον. λέγωμεν οὖν ποιησάμενοι τῆς σκέψεως ἀρχὴν τήνδε. τὸ ψυχὴν ἔχον πρὸς τὸ μὴ ἔχον διορίζομεν τῷ ζῆν· τὸ δὲ ζῆν εἰς πλείω τὸν ἀριθμὸν βλέψαντες εἴποιμεν κἂν εἰ μόνον ἓν ὑπάρχῃ τι τούτων, εἰς αἴσθησαν, εἰς νοῦν, εἰς κίνησιν τὴν κατὰ τόπον καὶ στάσιν, ἔτι εἰς κίνησιν τὴν κατὰ τὸ τρέφειν καὶ αὐξάνεσθαι καὶ φθίνειν, διὸ καὶ

τὰ φυόμενα πάντα ζωῆς τινὸς δοκεῖ μετέχειν· αὐτὰ γὰρ ἐν αὑτοῖς φαίνεται τοιαύτην δύναμιν ἔχοντα καὶ ἀρχήν, δι' ἧς αὔξησίν τε λαμβάνει καὶ φθίσιν κατὰ τοὺς ἐναντίους τόπους· οὐ γὰρ ἄνω μὲν αὔξεται, κάτω δ' οὔ, ἀλλὰ καὶ κάτω καὶ ἄνω καὶ πάντη· καὶ τρέφεται διὰ τέλους καὶ ζῇ ἕως ἂν δύνηται λαμβάνειν τροφήν. δύναται δὲ τοῦτο μὲν χωρίζεσθαι τῶν ἄλλων, τούτου δὲ τἆλλ' ἀδύνατον ἐν τοῖς θνητοῖς. φανερὸν δ' ἐπὶ τῶν
2.413b φυομένων· οὐδεμία γὰρ αὐτοῖς ὑπάρχει δύναμις ἄλλη ψυχῆς. τὸ μὲν οὖν ζῆν διὰ ταύτην ὑπάρχει τὴν ἀρχὴν παρὰ τοῖς ζῴοις, τὸ δὲ ζῷον διὰ τὴν αἴσθησιν πρῶτον· καὶ γὰρ εἰ μὴ κινοῖτο μηδ' ἀλλάττοι τόπον, ἔχει δὲ αἴσθησιν, ζῷον ἂν εἶναι φαῖμεν καὶ οὐ μόνον ζῆν. φαίνεται δὲ καὶ τοιαῦτ' εἶναι πολλὰ τῶν ζῴων· μόνιμα γὰρ ὄντα τῇ φύσει ἔχει μόνον αἴσθησιν. αἰσθήσεως δὲ ἁφὴ πρῶτον ὑπάρχει πᾶσι· καὶ καθάπερ τὸ θρεπτικὸν δύναται χωρίζεσθαι τῆς ἁφῆς, πάλιν οὕτως αὕτη τῶν ἄλλων αἰσθήσεων· πάντα γὰρ τὰ ζῷα ἔχοντα φαίνεται τὴν ἁπτικὴν αἴσθησιν· δι' ἣν δ' αἰτίαν ἑκάτερον τούτων οὕτω συμβέβηκεν, ὕστερον ἐροῦμεν. νῦν δ' ἐπὶ τοσοῦτον εἰρήσθω μόνον, ὅτι ἡ ψυχὴ τούτων ἐστὶν ἀρχὴ τῶν εἰρημένων καὶ ὥρισται τούτοις θρεπτικῷ, αἰσθητικῷ, διανοητικῷ, κινήσει. πότερον δὲ τούτων ἕκαστόν ἐστι ψυχὴ ἢ μόρια ψυχῆς, καὶ πότερον μόρια ψυχῆς οὕτως ὥστε εἶναι χωριστὰ μόνῳ λόγῳ ἢ καὶ τόπῳ, περὶ μὲν οὖν τινῶν οὐ χαλεπὸν ἰδεῖν, ἔνια δὲ ἀπορίαν ἔχει. ὥσπερ γὰρ ἐπὶ τῶν φυτῶν φαίνεται διαιρούμενα ἔνια ζῶντα καὶ χωριζόμενα δ' ἀπ' ἀλλήλων, ὡς οὔσης τῆς ἐν αὐτοῖς ψυχῆς ἐντελεχείᾳ μὲν μιᾶς ἐν τῷ ἑνὶ ἑκάστῳ φυτῷ, δυνάμει δὲ πολλῶν, οὕτω καὶ περὶ τὰς ἄλλας διαφορὰς ὁρῶμεν τῆς ψυχῆς συμβαῖνον ἐν τοῖς διατεμνομένοις ζῴοις· καὶ γὰρ αἴσθησιν ἑκάτερον τῶν μερῶν ἔχει καὶ κίνησιν τὴν κατὰ τόπον, εἰ δ' αἴσθησιν, καὶ φαντασίαν καὶ ὄρεξιν· ὅπου μὲν γὰρ αἴσθησις, λύπη τε καὶ ἡδονὴ παρακολουθεῖ, ὅπου δὲ ταῦτα, ἐξ ἀνάγκης καὶ ἐπιθυμία. περὶ δὲ τοῦ νοῦ τῆς θεωρητικῆς δυνάμεως οὐδέ πω φανερόν, ἀλλ' ἔοικε ψυχῆς γένος ἕτερον εἶναι, καὶ τοῦτο μόνον ἐνδέχεται χωρίζεσθαι, ὥσπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ. ὅτι μὲν οὖν οὐκ ἔστιν οὕτω ταῦτα μέρος ψυχῆς ὥστ' εἶναι χωριστά, καθάπερ φασί τινες, δῆλον ἐκ τούτων· τῷ δὲ λόγῳ ὅτι ἕτερον, φανερόν· αἰσθητικὸν γὰρ εἶναι καὶ δοξαστικὸν ἕτερον, εἴπερ καὶ τὸ αἰσθάνεσθαι τοῦ δοξάζειν. ὁμοίως δὲ καὶ τῶν ἄλλων τῶν εἰρημένων

ἕκαστον, ἔτι δ’ ἐνίοις μὲν τῶν ζῴων ὑπάρχει ἅπαντα, ἐνίοις δὲ ἐλάττω, τοῖς δὲ ἓν μόνον· τοῦτο δὲ ποιεῖ διαφορὰς τῶν ζώντων· δι’ ἣν δ’ αἰτίαν,
2.414a σκεπτέον ὕστερον. τὸ δ’ αὐτὸ τοῦτο συμβαίνει καὶ περὶ τὰς αἰσθήσεις· τὰ μὲν γὰρ ἔχει πάσας, τὰ δ’ ἐλάττους, τὰ δὲ μίαν τὴν ἀναγκαιοτάτην, ἁφήν. ἐπεὶ δὲ ᾧ ζῶμεν καὶ αἰσθανόμεθα λέγεται διχῶς, ὥσπερ ᾧ ἐπιστάμεθα· τὸ μὲν γὰρ ἐπιστήμην εἶναί φαμεν, τὸ δὲ ψυχήν· καὶ γὰρ τῇ ψυχῇ καὶ τῇ ἐπιστήμῃ ἐπίστασθαι λέγομεν· ὁμοίως δὲ καὶ ᾧ ὑγιαίνομεν, τὸ μὲν ὑγιείᾳ, τὸ δὲ τοῦ σώματός τινι μορίῳ ἢ ὅλῳ· τούτων δ’ ἡ μὲν ἐπιστήμη καὶ ἡ ὑγίεια εἶδός τι καὶ μορφὴ καὶ λόγος καὶ οἷον ἐνέργεια τῶν δεκτικῶν, ἡ μὲν τοῦ ἐπιστημονικοῦ, ἡ δὲ τοῦ ὑγιαστοῦ· ἐν τῷ πάσχοντι γὰρ καὶ διατιθεμένῳ δοκεῖ ἡ ἐνέργεια ἐνεῖναι ἡ τῶν ποιητικῶν· ἡ ψυχὴ δὲ τοῦτο ᾧ ζῶμεν καὶ αἰσθανόμεθα καὶ κινούμεθα πρώτως· ὥστ’ εἶδός τι καὶ λόγος ἐστίν, ἀλλ’ οὐχ ὡς ὕλη καὶ ὑποκείμενον ὥσπερ εἴρηται.

3.420b ἡ δὲ φωνὴ ψόφος τίς ἐστιν ἐμψύχου· οὐδὲν γὰρ φωνεῖ ἄψυχον, ἀλλὰ καθ’ ὁμοιότητα λέγεται φωνεῖν, οἷον αὐλοὶ καὶ λύρα καὶ ὅσα ἄλλα τῶν ἀψύχων ἀπότασιν καὶ μέλος καὶ διάλεκτον ἔχει· ἔοικε γὰρ ὅτι καὶ ἡ φωνὴ ταῦτ’ ἔχει. οὐ πάντα δὲ τὰ ζῷα φωνὴν ἔχει· τῶν γὰρ ἀναίμων οὐθὲν ἔχει· ἀλλ’ οὐδὲ τὰ ἔναιμα πάντα, οἷον ἰχθύες.

4.421a σημεῖον δὲ τούτου· οὐθεὶς γὰρ δύναται ἅμα ἀναπνέων φωνεῖν ἢ ἐκπνέων, ἀλλὰ κατέχων. τούτῳ κινεῖ, φανερὸν δὲ καὶ διότι οἱ ἰχθύες ἄφωνοι· οὐ γὰρ ἔχουσι φάρυγγα. οὐκ ἔχουσι δὲ τοῦτο τὸ μόριον, ὅτι οὐ δέχονται τὸν ἀέρα οὐδ’ ἀναπνέουσιν. δι’ ἣν δ’ αἰτίαν, ἕτερος ἔσται περὶ αὐτῶν λόγος.

5.422b ἀλλὰ τί τὸ ἓν τὸ ὑποκείμενον, ὥσπερ ἀκοῇ ψόφος, οὕτως τῇ ἁφῇ, ἄδηλον δοκεῖ εἶναι. πότερον δ’ ἐστὶ τὸ αἰσθητήριον ἐντός, ἢ οὔ, ἀλλ’ εὐθέως· ἡ
5.423a σάρξ, οὐθὲν δοκεῖ σημεῖον εἶναι τὸ ἅμα θιγγάνοντος φαίνεσθαι τὴν αἴσθησιν γινομένην. καὶ γὰρ νῦν εἴ τις παρατείνειε περὶ τὴν σάρκα οἷον ὑμένα ποιήσας, ὁμοίως ποιήσει τὴν αἴσθησιν εὐθὺς ἁψάμενον· καίτοι οὐ δήπου καὶ ἐν τούτῳ ἐστὶ τὸ αἰσθητήριον· εἰ δὲ καὶ προσπεφυκὸς εἴη, θᾶττον ἔτι διικνοῖτ’ ἂν ἡ αἴσθησις. διὸ τὸ τοιοῦτον τοῦ σώματος μόριον ἔοικεν οὕτως ἔχειν ὥσπερ ἂν εἰ κύκλῳ ἡμῖν περιεπεφύκει ὁ ἀήρ· ἐνὶ γὰρ ἂν ἐδοκοῦμεν αἰσθάνεσθαι ὀσμῆς καὶ ψόφου καὶ χρώματος, καὶ μία τις αἴσθησις εἶναι ὄψις τε καὶ ἀκοὴ καὶ ὄσφρησις. ἀλλὰ διὰ τὸ κεχωρισμένον

εἶναι δι᾽ οὗ γίνονται αἱ κινήσεις, φανερὰ τὰ εἰρημένα αἰσθητήρια ἕτερα ὄντα. ἐπὶ δὲ τῆς ἁφῆς τοῦτο νῦν ἄδηλον· ἐξ ἀέρος μὲν γὰρ ἢ ὕδατος ἀδύνατον συστῆναι τὸ ἔμψυχον σῶμα· δεῖ γὰρ στερεὸν εἶναι. ἐκ γῆς δὲ λείπεται καὶ τούτων εἶναι μικτόν, οἷον βούλεται εἶναι ἡ σὰρξ καὶ τὸ ἀνάλογον ὅσα μὴ ἔχει σάρκα τῶν ζῴων· ὥστ᾽ ἀνάγκη τὸ σῶμα μεταξὺ εἶναι τοῦ ἁπτοῦ καὶ προσπεφυκός, δι᾽ οὗ γίνονται αἱ αἰσθήσεις πλείους οὖσαι. δηλοῖ δ᾽ ὅτι πλείους εἰσὶν αἱ αἰσθήσεις ἡ ἐπὶ τῆς γλώττης ἁφή· ἁπάντων γὰρ τῶν ἁπτῶν αἰσθάνεται κατὰ τὸ αὐτὸ μόριον καὶ χυμοῦ. εἰ μὲν οὖν καὶ ἡ ἄλλη σὰρξ χυμοῦ ᾐσθάνετο, μία ἂν ἐδόκη εἶναι καὶ ἁφὴ καὶ ἡ γεῦσις, νῦν δὲ διὰ τὸ μὴ ἀντιστρέφειν. ἔχει δὲ ἀπορίαν εἰ ἅπαν σῶμα βάθος ἔχει· τοῦτο δ᾽ ἐστὶ τὸ τρίτον μέγεθος· ὧν δ᾽ ἐστὶ δύο σωμάτων μεταξὺ σῶμα, ταῦτα δ᾽ ἀδύνατον ἅπτεσθαι ἀλλήλων· τὸ δὲ ὑγρὸν ἄνευ σώματος οὐκ ἔστιν οὐδὲ τὸ διερόν, ἀλλ᾽ ἀναγκαῖον ἢ ὕδωρ εἶναι ἢ ἔχειν ὕδωρ· τὰ δὲ ἁπτόμενα ἀλλήλων ἐν τῷ ὕδατι, μὴ ξηρῶν τῶν ἄκρων ὄντων, ἀναγκαῖον ὕδωρ ἔχειν μεταξύ, οὗ ἀνάπλεω τὰ ἔσχατα· εἰ δὲ τοῦτ᾽ ἀληθές, ἀδύνατον ἂν εἴη ἅψασθαι ἄλλο ἄλλου ἐν ὕδατι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν ἀέρι· ὁμοίως γὰρ ἔχει ὁ ἀὴρ πρὸς τὰ ἐν αὐτῷ ὥσπερ ὕδωρ πρὸς τὰ ἐν αὐτῷ τῷ ὕδατι. λανθάνει δὲ μᾶλλον ἡμᾶς, ὥσπερ καὶ τὰ ἐν τῷ
5.423b ὕδατι ζῷα, εἰ διερὸν ἅπτεται διεροῦ. πότερον οὖν ἐστι πάντων ὁμοίως ἡ αἴσθησις; νῦν γὰρ οὐ δοκεῖ, ἀλλὰ τῷ ἅπτεσθαι ἡ γεῦσις καὶ ἡ ἁφή, αἱ δὲ ἄλλαι ἄποθεν. τὸ δ᾽ οὐκ ἔστιν, ἀλλὰ καὶ τὸ σκληρὸν καὶ τὸ μαλακὸν δι᾽ ἑτέρου αἰσθανόμεθα, ὥσπερ καὶ τὸ ὁρατὸν καὶ τὸ ἔχον ψόφον καὶ τὸ ὀσφραντόν· ἀλλὰ τὰ μὲν πόρρωθεν, τὰ δὲ διὰ τὸ λίαν ἐγγὺς λανθάνει. ἐπεὶ πάντα γε διὰ τοῦ μέσου αἰσθανόμεθα· ἀλλ᾽ ἐπὶ τούτων λανθάνει.